ΔΙΟΡΘΩΤΙΚΑ

ΕΙΣ ΕΛΛΗΝΑΣ ΣΥΓΓΡΑΦΕΑΣ

ΔΙΑΤΡΙΒΗ ΔΙΔΑΚΤΟΡΙΚΗ

Zara.

ΑΝΑΣΤΑΣΙΟΥ Ι. ΖΑΚΑ

ΗΠΕΙΡΩΤΟΥ

ΚΡΙΘΕΙΣΑ ΥΠΟ ΤΗΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ

ΤΟΥ

ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΤΗΣ ΛΕΙΨΙΑΣ.

Leipzig

ΕΝ ΛΕΙΨΙΑΙ.

ΤΥΠΟΙΣ ΜΕΤΣΓΕΡ ΚΑΙ ΒΙΤΤΙΓ.

1882.

Βίος.

Ἰωάννου καὶ Τριανταφυλλιᾶς, πενήτων γονέων, ἐγένετο τέτταρα τέκνα, ὧν τὸ πρεσβύτατον ἀπέθανε τριετές, ἐν Καλωτᾷ κώμῃ τοῦ τμήματος Ζαγορίου τῆς ἐπαρχίας Ἠπείρου ὑπὸ Τούρκοις ἄρχουσιν. Τούτων δ' ὢν ἐγὼ νεώτατος ἐγενόμην τῇ εἰκοστῇ Μαρτίου τοῦ ἔτους 1850. Πεντεκαιδεκέτης δὲ ἤδη ὢν εἶδον σὺν τῷ πατρὶ τὴν ἔνδοξον Μακεδονίαν, ἐξ ἧς ἐπανελθὼν οἴκαδε μετ' ἀποδημίαν ἑνὸς ἔτους εἰσῆλθον εἰς τὸ ἐν Ἰωαννίνοις, πρώτῃ τῆς Ἠπείρου πόλει Ἑλληνικῇ, ὂν Γυμνάσιον, Ζωσιμαίαν Σχολὴν ἐπικαλούμενον, ἅτε ὑπὸ τῶν μεγάλων συμπάσης τῆς Ἑλλάδος εὐεργετῶν Ζωσιμαδῶν ἱδρυθέν. Ἐκεῖ δ' ἐν τρισὶν ἔτεσι διδαχθεὶς τὰ ἐν ταῖς ἀνωτάταις τάξεσι διδασκόμενα μαθήματα (τὰ γὰρ ἄλλα πρότερον ἔν τε τῇ Καλωτᾷ καὶ ἐν τῇ Μακεδονίᾳ ἔμαθον) ἐξῆλθον ἐννεακαιδεκέτης ὢν καὶ μετελθὼν δύο ἔτη ἔν τινι κώμῃ τὴν τοῦ διδασκάλου τέχνην ἀπῆλθον Ἀθήναζε, ὅπου ἀγαθοὺς καθηγητὰς ἔσχον ἐν τῷ Πανεπιστημίῳ Φίλιππον Ἰωάννου, ἄνδρα τῷ ὄντι σοφόν, Σ. Φιντικλῆν, Σ. Κουμανούδην, Α. Ῥουσόπουλον, Δ. Σεμιτέλον, Κ. Κόντον, Γ. Μιστριώτην, Ν. Κοτζιᾶν, Κ. Παπαρρηγόπουλον, Σ. Τσιβανόπουλον, Ἠ. Μητσόπουλον, Δ. Στροῦμπον, ὧν τέτταρα ἔτη ἤκουσα. Τῷ δὲ πέμπτῳ ἔτει ὢν πεντεκαιεικοσέτης ἔπεμψα ἐκεῖθεν εἰς τὸ ἐνθάδε Πανεπιστήμιον

διατριβὴν λατινικὴν χωρία ἐγκρίτων ἑλλήνων συγγραφέων περιέχουσαν, ἣν σοφοὶ καθηγηταὶ οὐκ ἀπεδοκίμασαν. Εὐθὺς δὲ κληθεὶς εἰς τὰ Ἰωάννινα καθηγητὴς τοῦ Γυμνασίου ὡς τὰ τροφεῖα τῇ ἐκθρεψάσῃ με ἀποδώσων τὴν μὲν μητέρα, γενναίαν Ἠπειρῶτιν, εὗρον ἐκ πολλοῦ ἀποθανοῦσαν, τὸν δὲ πατέρα, ἄνδρα ἀγαθόν, ἐπεῖδον ἀποθνήσκοντα, αὐτὸς δ' ἑπτακαιεικοσέτης ὢν γυναῖκα ἠγαγόμην Ἑλένην ὀνόματι, ἐξῆς τρία θήλεα τέκνα ἐγέννησα, ὧν τὸ δεύτερον εἰς ὑπερβολὴν ἐθρήνησα. Ἓξ δ' ἔτη ἐν τῷ Γυμνασίῳ διδάξας καὶ βίον χαρᾷ καὶ λύπῃ μεμιγμένον βιοὺς (πάντες γὰρ μάτην προσεδοκῶμεν κρητῆρα στήσασθαι ἐλεύθερον, ἵνα καθ' Ὅμηρον εἴπω) ἀφικόμην ἕβδομον ἤδη μῆνα τουτονὶ δεῦρο, ἵνα τήν τε ἐπιστήμην ἐν φωτὶ καθαρωτέρῳ ἴδω καὶ τῆς τοῦ διδάκτορος ἀξίας τύχω.

Τὸν πρόλογον τῆς διατριβῆς ταύτης εὑρήσει ὁ ἀναγνώστης ἐν τῇ ἀρχῇ διατριβῆς τινος „Κριτικὰ καὶ Ἑρμηνευτικὰ εἰς Θουκυδίδην μετὰ Παραρτήματος“ ἐπιγραφομένης, ἥ ἐν βραχεῖ ἐκδοθήσεται.

Αἰσχύλος.

Ἕπομαι τῷ Kirchhoff *κατὰ τὴν τῶν δραμάτων τάξιν καὶ τὴν ἀρίθμησιν τῶν στίχων.*

Ἑπτὰ ἐπὶ Θήβας.

235 *„θεοὶ πολῖται, μή με δουλείας τυχεῖν“* *εἰπόντι τῷ χορῷ ἀποκρίνεται Ἐτεοκλῆς*

„αὐτὴ σὺ δουλοῖς κἀμὲ καὶ πᾶσαν πόλιν.“

τὴν γραφὴν ταύτην „κἀμὲ“ τοῦ Μ. φυλάττει καὶ Kirchhoff, *τῶν ἄλλων ἐκδοτῶν γραφόντων „καὶ σὲ“ ἀντὶ „κἀμέ.“ Ἀλλὰ δῆλον, ὥς γ' ἐμοὶ δοκεῖ, ὅτι μόνον τὸ σὺ τρεπτέον εἰς σέ ἐστιν.*

„αὐτὴ σὲ δουλοῖς κἀμὲ καὶ πᾶσαν πόλιν“.

κειμένης τῆς προσωπικῆς ἀντωνυμίας ἀντὶ τῆς αὐτοπαθοῦς διὰ τὴν ἀντίθεσιν, ὡς πολλαχοῦ.

Ἀγαμέμνων.

701—2 *„χρονισθεὶς δ' ἀπέδειξεν*
ἔθος τὸ πρὸς τοκήων.“

ταῦτα λέγει ὁ χορὸς περί τοῦ Πάριδος, ὃν λεοντιδεῖ εἴκασεν. Ὁ δεύτερος στίχος ἡμάρτηται, ὡς διδάσκει τὸ μέτρον τῆς στροφῆς, καὶ ἄλλοι ἄλλως ἐπειράθησαν ἰάσασθαι τὸ χωρίον καὶ ὁ Enger *ἔγραψεν „ἔθος τρόπους τε τοκήων.“ Ἀλλ' οὔτε*

τὸ τρόπους ἀναγκαῖον ἥ τε γραφὴ πολὺ μεταβάλλει την γραφὴν τῶν κωδίκων. Οἶμαι δὲ γραπτέον εἶναι

„ἔθος τορῶς τὸ τοκήων.“

πολλαχοῦ δὲ ὁ Ἀισχύλος χρῆται τῷ ἐπιρρήματι τούτῳ.

1125 „ἐγὼ δὲ θερμόνους τάχ' ἐμπέδῳ βαλῶ.“
Ἡ Κασάνδρα ἀποκλαύσασα τὰς τύχας τῆς πατρίδος λέγει καὶ περὶ ἑαυτῆς τὸν στίχον τοῦτον. Πολλὰ καὶ περὶ αὐτοῦ εἰκάζουσιν οἱ ἑρμηνευταὶ καὶ ὁ WECKLEIN ἐν Aeschyl. Studien σελ· 136—7 μεταβάλλει

„ἐγὼ δὲ θρόμβους ἐν πέδῳ βαλῶ τάχα.“

Ἀλλὰ πολὺ ἀφίσταται τοῦ κειμένου ἡ μεταβολὴ καὶ οἶμαι γραπτέον εἶναι „ἐγὼ δὲ θερμὸν ὡς τάχος πέδοι βαλῶ“, ὑπονοουμένου μὲν τοῦ οὐσιαστικοῦ αἷμα τοῦ θερμὸν, ὡς ἐν 1232

„θερμόν (ὡς ὀρθῶς μετεβλήθη τὸ θερμῷ)
κοπείσης φοινίῳ προσφάγματι,“

τοῦ δὲ ἐν πέδῳ σχολίου ὄντος τοῦ πέδοι, ἐπιρρήματος ὄντος.

Χοηφόροι.

468—9 „Κἀγώ, πάτερ, τοιάνδε σου χρείαν ἔχω
φυγεῖν μέγαν προσθεῖσαν Ἀιγίσθῳ —.“

Ταῦτα λέγει ἡ Ἠλέκτρα εὐχομένη τῷ πατρί. Ὁ δεύτερος στίχος στερεῖται ἐν τῷ M. τῆς τελευταίας λέξεως, ἥν ἄλλοι ἄλλως ἀναπληροῦσιν. WEIL δὲ γράφει

„φυγεῖν μέγαν πως θεῖσαν Ἀιγίσθῳ δόλον.“

Ἀλλὰ προστίθημι ἐστὶν ἀναγκαία λέξις, ᾗ χρῶνται οἱ Ἕλληνες ἐπὶ τοιούτων οἷον „προστίθημὶ τινι κακὰ, ἄχθος, μέριμναν κτλ.“ καὶ οἶμαι ἐκπεσεῖν ἐν τέλει τοῦ στίχου τὴν λέξιν μόγον, ὅ καὶ ῥαδίως διὰ τὸ ἐπίθετον μέγαν ἐγένετο.

Ἱκέτιδες.

500—1 ἐγὼ δὲ λαοὺς συγκαλῶν ἐγχωρίους
πιέτω, τὸ κοινὸν ὡς ἂν εὐμενὲς τιθῶ.“

Ὁ Βασιλεὺς εἰπὼν τῷ χορῷ, ὡς ὁ πατὴρ οὐ πολὺν χρονον ἀπέσται, λέγει τίνα αὐτὸς μέλλει ποιήσειν. Φανερὸν δ᾽ ἐστι τὸ πιετω διεφθαρμένον, ὅ εἰς στείχω WEIL μετέβαλεν, οἷον ῥῆμα καὶ τοῦ λόγου ὁ νοῦς ἀπαιτεῖ· Ἀλλὰ καὶ αὕτη ἡ διόρθωσις πόρρω ἀφέστηκε τοῦ κειμένου, οὗ ἐγγὺς κεῖται, οἶμαι, τὸ κίω, ἐπεὶ Ι καὶ Ε ὁμοῦ ἀποτελεῖ τὸ Κ. Περὶ δὲ τοῦ κίειν ἰδὲ ἀνωτέρω στ. 487 „καὶ τεταγμένος κίοι“ καὶ Χοηφ. 661 „ἐπείπερ ἄλλως, ὦ ξέν᾽, εἰς Ἄργος κίεις.“

1010—11 „φυγάδεσσιν δ᾽ ἐπιπνοίας κακά τ᾽ ἄλγη
πολέμους θ᾽ αἱματόεντας προφοβοῦμαι.“

Ὁ χορὸς ἔτι δέδοικε περὶ ἑαυτῷ· Ὁ Μ. ἔχει ἐπιπνοίαι, ὅ εἰς ἐπιπνοίας μετέβαλεν ὁ TURNEBUS καὶ ἄλλοι τε καὶ KIRCHHOFF ἐδέξαντο· Ἀλλά τὰ „ἐπιπνοίας προφοβοῦμαι ἄλγη τε πολέμους τε“ οὐ δύναται ἴσα καὶ τὰ „ἐπιπνέοντα προφοβοῦμαι ἄλγη τε πολέμους τε“ ἤ „ἐπιπνοίας προφοβοῦμαι ἀλγῶν τε πολέμων τε,“ ὡς βούλεται ἑρμηνεῦσαι WEIL. Οὐδὲ γὰρ ἑλληνικὸν οἶμαι τὸν λόγον τοῦτον εἶναι. Ἀλλὰ καὶ τοῦ HAUPT ἡ εἰκασία „ἐπιπλοίας“ καὶ τοῦ HERMANN „ἐπινοίαις“ οὐδὲν κοινὸν ἔχει πρὸς τὸ χωρίον, ἀλλ᾽ ἐν τῷ ἐπιπνοίας οἶμαι κρύπτεσθαι λέξιν κακόν τι δηλοῦσαν καὶ ἴσως γραπτέον „φυγάδεσσιν δ᾽ ἔτι ποινάς.“ Εὖ δὲ ἔχει τὸ ἔτι· οὔπω γὰρ πάντων τῶν δεινῶν ἀπηλλάγησαν τυχοῦσαι εὐμενοῦς δεξιώσεως ὑπὸ τῶν Ἀργείων. Ἀλλὰ καὶ τὸ ποινάς εὖ ἔχει· φυγοῦσαι γὰρ αἱ Δαναίδες ἐξ Αἰγύπτου ἥμαρτον εἰς τοὺς ἀνεψιούς.

Σοφοκλῆς.

Ἠλέκτρα.

363 „ἐμοὶ γὰρ ἔστω τοῦ με μὴ λυπεῖν μόνον
βόσκημα.“

Ἡ Ἠλέκτρα ὀνειδίζουσα τῇ Χρυσοθέμιδι λέγει περὶ ἑαυτῆς τίνα αὐτὴ προαιρεῖται. Τὸ πλημμελὲς τοῦ με μὴ μεταβάλλει ὁ Gustav Wolff εἰς τούςδε δή. Ἀλλὰ τὸ λυπεῖν οὐ δεῖται ἀντικειμένου, ἐπεὶ ἐν τοῖς ἔμπροσθεν εἶπεν 355 „λυπῶ δὲ τούτους κτέ.“ Παραλείπων δὲ καὶ τὰς ἄλλας μεταβολὰς εἰκάζω δεῖν μεταβαλεῖν αὐτὸ εἰς „τοὐν ἐμοὶ“ = κατὰ δύναμιν.

Οἰδίπους τύραννος.

287 „Ἀλλ' οὐκ ἐν ἀργοῖς οὐδὲ τοῦτ' ἐπραξάμην.“

Εἰπόντος τοῦ χοροῦ, ὡς Τειρεσίας δύναται μάλιστα ἑρμηνεῦσαι τὸν χρησμὸν τοῦ Ἀπόλλωνος, ἀποκρίνεται ὁ Οἰδίπους ὡς καὶ ἐπὶ τοῦτον ἔπεμψεν. Ὁ Nauck ἡμαρτῆσθαι ὑπολαμβάνων τὸ ἐπραξάμην ἐπαινεῖ τὴν τοῦ M. Schmidt εἰκασίαν „εἰάσαμεν.“ Ἀλλὰ τὸ ῥῆμα τοῦτο οὐδὲν ἕτερον ἐνταῦθα δηλοῖ ἢ ἐπειράθην καὶ ἐπίτηδες παρεθέμην τὸν στίχον τοῦτον, ἵνα βοηθήσω, ἣν δύνωμαι, τοῖς 1034—5 στίχοις τῆς Ἀντιγόνης Σοφοκλέους

„οὐδὲ μαντικῆς
ἄπρακτος ὑμῖν εἰμι, τῶνδ' ὑπαὶ γένους,“

ὅπου κατὰ τὸ ἐπραξάμην καὶ τὸ ἄπρακτος ταὐτὸν ἂν εἴη καὶ ἀπείρατος ὑμῖν ὑπὸ τῆς μαντικῆς.

579 „ἄρχεις δ' ἐκείνῃ ταὐτὰ γῆς ἴσον νέμων;“

Ὁ Κρέων πειρώμενος ἀποδεῖξαι, ὅτι συμφέρει αὐτῷ μᾶλλον ἄρχειν τὸν Οἰδίποδα λέγει τὸν στίχον τοῦτον. Τὸ γῆς

ἀλλότριόν ἐστι τοῦ χωρίου τούτου, ὅ ἄλλοι ἄλλως μεταβάλλουσι καὶ HEIMSOETH γράφει τοῦ κράτους ἀντὶ ταὐτὰ γῆς· Ἀλλ᾽ οἶμαι μόνον τό γῆς διεφθάρθαι καὶ τὸν Σοφοκλέα εἰπεῖν

„ἄρχεις δ᾽ ἐκείνῃ ταὐτά, γέρας ἴσον νέμων;“

Οἰδίπους ἐπὶ Κολωνῷ.

466—7 „Θοῦ νῦν καθαρμὸν τῶνδε δαιμόνων, ἐφ᾽ ἅς τὸ πρῶτον ἵκου καὶ κατέστειψας πέδον.“

Ὁ χορὸς παραινεῖ τῷ Οἰδίποδι καθαρμὸν ποιεῖσθαι· Οὔτε τὸ κατέστειψας πέδον τοῦ καταστείβειν οὔτε τὸ κατάστεψον πέδον, ἥν ματαίαν διόρθωσιν τῶν σχολιαστῶν εἶναι ἡγοῦμαι, εὖ ἔχει καὶ εἰκάζω γραπτέον εἶναι „καὶ κατέστησας πόδα.“

528—9 „ἦ ματρόθεν, ὡς ἀκούω,
δυσώνυμα λέκτρ᾽ ἐπλήσω;“

Ἐρωτᾷ ταῦτα ὁ χορὸς τὸν Οἰδίποδα. Τὸ ἐπλήσω, ὅ εἰς ἐπάσω μετέβαλε NAUCK καὶ ἄλλοι ἄλλως, οἶμαι μεταβλητέον εἶναι εἰς „ἔτλης σύ;“

547—8 „καί γὰρ ἄλλους ἐφόνευσα καὶ ἀπώλεσα·
νόμῳ δέ καθαρὸς, ἄϊδρις εἰς τόδ᾽ ἦλθον.“

Ὁ Οἰδίπους ἀπολογεῖται διὰ τῶν στίχων τούτων πρὸς τὸν χορόν, ὅτι ἐφόνευσεν. Τὸ ἄλλους ἐτράπη ὑπὸ τοῦ PORSON εἰς ἄνους, τὸ δὲ ἀπώλεσα ἄμετρον ὂν ὑπὸ τοῦ BOTHE εἰς ὤλεσα. Ἀλλὰ τί βούλεται ἀμφότερα τὰ ῥήματα ἐφόνευσα καὶ ἀπώλεσα ἤ ὤλεσα; Ἐγὼ μὲν γὰρ ἡγοῦμαι μόνην ταύτην τὴν αἰτίαν ἱκανὴν εἶναι πεῖσαι, ὅτι ἕτερόν τι ἐνταῦθα κρύπτεται. Οἶμαι τοίνυν γραπτέον εἶναι

„καὶ γὰρ ἅμ᾽ οὓς ἐφόνευσά μ᾽ ἀπώλεσαν.“

Ἀναφέρεται δὲ τὸ ἀπώλεσαν εἰς τὴν ἐπὶ τοῦ Κιθαιρῶνος ἔκθεσιν τοῦ Οἰδίποδος καὶ ἐν τῷ ἄϊδρις ὑπάρχει τὸ ζητούμενον ἄνους· ὥστε ἔχομεν ἅπαντας τοὺς δικαίους λόγους τοῦ Οἰδίποδος. Δῆλον δὲ, ὅτι ὁ καὶ προσετέθη κατὰ παρανόησιν καὶ μετὰ τὴν διαφθορὰν τοῦ ἀπώλεσαν εἰς ἀπώλεσα, ὅ πολλάκις ἐγένετο.

Ἀντιγόνη.

4—7 „οὐδὲν γὰρ οὔτ᾽ ἀλγεινὸν οὔτ᾽ ἄτης ἄτερ
οὔτ᾽ αἰσχρὸν οὔτ᾽ ἄτιμον ἔσθ᾽, ὁποῖον οὐ
τῶν σῶν τε κἀμῶν οὐκ ὄπωπ᾽ ἐγὼ κακῶν.“

Ἡ Ἀντιγόνη λέγει τῇ Ἰσμήνῃ, ὡς πάντα τὰ ἀπ᾽ Οἰδίποδος κακὰ ἤδη ἐπ᾽ αὐτῶν ζωσῶν συμβαίνει. Πολλαχῶς δὲ τὸ „οὔτ᾽ ἄτης ἄτερ“ ἑρμηνεύεται ἢ μεταβάλλεται. Τὴν ὑπὸ Dindorf γενομένην εἰς „οὔτ᾽ ἀτήσιμον“ μεταβολὴν ἐδέξατο ὁ Gustav Wolff. Ἐμοὶ δὲ ἐπῆλθε τὸ οὔτ᾽ εἰς οὐκ μεταβαλεῖν, τῆς διαφθορᾶς γενομένης διὰ τὸν ἡγούμενον καὶ τοὺς ἑπομένους οὔτ᾽ „οὐκ ἄτης ἄτερ.“ Οὕτω γὰρ ἐκφέρεται διὰ δύο ἀρνήσεων ἰσχυρὰ κατάφασις, ὡς ἐν Εὐριπ. Ἰφιγ. Αὐλ. 809 „οὐκ᾽ ἄνευ θεῶν.“ Δηλοῖ δὲ „συνεργούσης τῆς ἄτης τοῦ Οἰδίποδος καὶ τοῦ γένους.“

436 „ἀλλ᾽ ἡδέως ἔμοιγε κἀλγεινῶς ἅμα.“

Ὁ φύλαξ διηγεῖται τὸ δεύτερον, ὅπως συνέλαβον τὴν Ἀντιγόνην. Ὁ μὲν Gustav Wolff φυλάττει τὸν ἀλλὰ, ἄλλοι δὲ πείθονται τῷ Dindorf γράφοντι ἅμ᾽. Ἀλλ᾽ οὔτε τὸ ἅμα— ἅμα ἐν ἑτέρῳ τινί χωρίῳ τοῦ Σοφοκλέους εὑρίσκω ἥ τε τοῦ G. Wolff ἐξήγησις τοῦ ἀλλὰ οὐδένα δύναται πείθειν. Εἰκάζω δὲ γραπτέον εἶναι „πόλλ᾽ ἡδέως ἔμοιγε κἀλγεινῶς ἅμα.“ Τὸ πολλὰ τίθεται πολλάκις ἐπιρρηματικῶς· περὶ δὲ τῆς ἀποστρόφου παράβαλε Σοφ. Φιλ. 245 „ὦ πόλλ᾽ ἐγὼ μοχθη-

ρός.“ Εὖ δὲ ἔχει τὸ πόλλ' ἡδέως ἐπαναλαμβανόμενον ἐν 438 ὑπὸ τοῦ ἥδιστον, ὥσπερ καὶ τὸ ἀλγεινῶς ἐν 440 ἐπαναλαμβάνεται ὑπὸ τοῦ ἀλγεινόν.

Φιλοκτήτης.

1381 „ἅ σοί τε κἀμοὶ κάλ' ὁρῶ τελούμενα.“

Οὕτως ἀποκρίνεται ὁ Νεοπτόλεμος πρὸς τὸν Φιλοκτήτην, ὅς οὐ θέλει ἀπελθεῖν εἰς Τροίαν. Τὸ κάλ' ἡμάρτηται διὰ τὸ μέτρον· παρὰ γὰρ τοῖς τραγικοῖς ἔχει τὸ α ἀεὶ βραχὺ τὸ καλός· ὁ δὲ Nauck ἐδέξατο τὴν τοῦ Dindorf εἰκασίαν „λῷσθ' ὁρῶ“. Ἀλλ' ἡ διόρθωσις πολὺ ἀφίσταται τῆς γραφῆς τῶν χειρογράφων καὶ εἰκάζω „κέδν' ὁρῶ.“ Ἰδὲ Σοφ. Αἰαντ. 663

„οὔπω τι κεδνὸν ἔσχον Ἀργείων πάρα“

ἴσα δυνάμενον καὶ τὸ καλόν.

Θουκυδίδης.

I, 13, 5 „καὶ ἐμπόριον παρέχοντες ἀμφότερα δυνατὴν ἔσχον χρημάτων προσόδῳ τὴν πόλιν.“

Περὶ τῶν Κορινθίων, περὶ ὧν λέγει ταῦτα ὁ συγγραφεύς, εἶπε μικρὸν ἀνωτέρω „χρήμασί τε δυνατοὶ ἦσαν“, καὶ Classen λέγων, ὡς ἔγκειται ἡ πρόοδος ἐν τῇ προσόδῳ τῶν χρημάτων οὐ πείθει με καὶ εἰκάζω δυνατωτάτην γραπτέον εἶναι. Παράβαλε καὶ I, 15, 1 „ἰσχὺν δὲ περιεποιήσαντο ὅμως οὐκ ἐλαχίστην οἱ προσσχόντες αὐτοῖς κτέ.“ Περὶ δὲ τοιαύτης βλάβης ἰδὲ Mnem. 1880 σελ. 278.

I, 132, 3 Οἱ Λακεδαιμόνιοι νῦν ἀνεμνήσθησαν τοῦ ἐπιγράμματος τοῦ Πανσανίου „τοῦ μέντοι Πανσανίου ἀδίκημα καὶ τοῦτ' ἐδόκει εἶναι καὶ ἐπειδὴ ἐν τούτῳ καθειστήκει, πολλῷ

μᾶλλον παρόμοιον πραχθῆναι ἐφαίνετο τῇ παρούσῃ διανοίᾳ.“ Μεταβάλλουσί τινες τὸ καὶ τοῦτ' εἰς καὶ τότ', ἵνα προβαῖνον τὸ πρᾶγμα παραστήσωσιν. Ἀλλὰ τί πλέον ἡμῖν προσγίγνεται διδασκομένοις, ὅτι καὶ τότε, ὅτε ἐπέγραψεν ὁ Παυσανίας τὸ ἐπίγραμμα, ἀδίκημα αὐτοῦ κατέγνωσαν οἱ Λακεδαιμόνιοι; Ἔπειτα δὲ οὐ πείθομαι τῷ CLASSEN λέγοντι, ὡς τὸ καὶ τοῦτο ἀπαιτεῖ ἕτερον ἀντίθετον ὑποκείμενον· τὸ γὰρ καὶ τοῦτο ἀναφέρεται εἰς τὰ I, 132, 2 „τά τε ἄλλα αὐτοῦ ἀνεσκόπουν εἴτι που ἐξεδεδιήτητο τῶν καθεστώτων νομίμων καὶ ὅτι ἐπὶ τὸν τρίποδα κτέ.“ ὁ δὲ πρὸ τοῦ ἐπειδή ὧν καὶ συνάπτει τὰ ῥήματα ἐδόκει καὶ ἐφαίνετο, ἃ κατά τὸν αὐτὸν χρόνον συμβαίνει. Ἔχομεν δὲ καὶ νῦν παράθεσιν ἀντὶ τοῦ εἰπεῖν „ἐπειδὴ γὰρ ἐν τούτῳ καθειστήκει.“ Συνεβάλετο δὲ καὶ τὸ πολλῷ μᾶλλον εἰς τὴν παρανόησιν (ὃ δηλοῖ, ὅτι εἰ μὴ ἔπραττε τὰ μετὰ ταῦτα ὁ Παυσανίας, οὐδεὶς ἂν ἐμέμνητο τοῦ ἐπιγράμματος· νῦν δὲ πᾶν τοὐναντίον), καὶ τὸ ἀδίκημα, ᾧ μικρὰ σημασία διὰ τοῦ καὶ τότ' ἀποδίδοται, σαφῶς ἑρμηνευόμενον ὑπὸ τοῦ I, 132, 2 „μὴ ἴσος βούλεσθαι εἶναι.“

II, 19, 1 „Οὕτω δὴ ὁρμήσαντες ἀπ' αὐτῆς μετὰ τὰ ἐν Πλαταίᾳ τῶν ἐσελθόντων Θηβαίων γενόμενα.“ Οἱ Πελοποννήσιοι οὐ δυνηθέντες τὴν Οἰνόην ἑλεῖν εἰσβάλλουσιν εἰς τὴν Ἀττικήν. Ἀποβάλλουσι τὰς λέξεις „τῶν ἐσελθόντων Θηβαίων“, ἃς KRÜGER μεταβάλλει εἰς „ἐσελθόντων τῶν Θηβαίων.“ Ἀλλ' εἰκάζω τὸν Θουκυδίδην γράψαι „μετὰ τὰ ἐν Πλαταίᾳ περὶ τῶν ἐσελθόντων Θηβαίων γενόμενα“ ὡς ἐν II, 6, 2 „τοῖς δ' Ἀθηναίοις ἠγγέλθη εὐθὺς τὰ περὶ τῶν Πλαταιῶν (τῶν πολιτῶν) γεγενημένα.“

II, 25, 1 „τῷ τείχει προσέβαλον ὄντι ἀσθενεῖ καὶ ἀνθρώπων οὐκ ἐνόντων.“ Οἱ ἐν ταῖς ἑκατὸν ναυσὶν Ἀθηναῖοι ἀπέβησαν καὶ εἰς Μεθώνην τῆς Λακωνικῆς καὶ προσέβαλον

τῷ τείχει. Ἀλλὰ πῶς λέγει „ἀνθρώπων οὐκ ἐνόντων“ μέλλων εὐθὺς ἐρεῖν „ἐβοήθει τοῖς ἐν τῷ χωρίῳ“; ἢ δηλοῖ, ὅτι ὁπλῖται μόνον οὐκ ἦσαν καὶ ἄλλοι ἄνθρωποι ᾤκουν, ἢ οἱ ἄνθρωποι ὀλίγοι ὄντες ἦσαν ἴσοι καὶ τὸ μηδέν; Ἀλλ' οὐδ' ἀσάφειαν ἔχω τοῦ Θουκυδίδου καταγιγνώσκειν καὶ παραβάλλων IV, 8, 1 „οἰκοδόμημα διὰ ταχέων εἰργασμένον καὶ ἀνθρώπων ὀλίγων ἐνόντων“ ἡγοῦμαι μεταβλητέον εἶναι τὸ οὐκ εἰς ὀλίγων.

II, 41, 4 „Καὶ οὐδὲν προσδεόμενοι οὔτε Ὁμήρου ἐπαινέτου, οὔτε ὅστις ἔπεσι μὲν τὸ αὐτίκα τέρψει, τῶν δ' ἔργων τὴν ὑπόνοιαν ἡ ἀλήθεια βλάψει.“ Μεταβαίνων ὁ Περικλῆς εἰς τὸ δεύτερον μέρος τοῦ λόγου τὴν δύναμιν τῶν Ἀθηναίων ἐπαινεῖ. Ὡς νῦν ἔχει ταῦτα, εἰς τὰ Τρωϊκὰ ἀναφέρεται, ὧν τὴν δόξαν ἡ ἀλήθεια τῶν ἔργων ἔβλαψεν, ὡς ἐν τῷ προοιμίῳ Θουκυδίδης ἀπέδειξεν. Ἀλλὰ ταῦτα εἰς τὴν τῶν Ἀθηναίων ἀρχὴν ἀναφέρεται καὶ εἰ μὴ ἀπατῶμαι, εἰκάζω δεῖν διορθοῦν τὰς λέξεις ἀντιμετατιθέντας „τῶν δ' ἔργων τὴν ἀλήθειαν ἡ ὑπόνοια βλάψει.“ Ὑπόνοια δ' ἐστίν ἡ ὑποψία, ἣν πρὸς τοὺς ποιητὰς ἔχουσιν οἱ ἄνθρωποι. Οὕτω δ' ἑρμηνεύεται καὶ τὸ αὐτίκα εἰς τό νῦν ἀναφερόμενον καὶ τῷ „ἐς τὸ λοιπόν“, ὅ ἐν τῷ „τῶν δ' ἔργων-βλάψει“ περιέχεται, ἀντιτιθέμενον. Ὁ δὲ Hoffmann ἐν Neue Jahrb. 1874 σελ. 628 „τῶν δ' ἔργων τὴν ὑπόνοιαν ἀληθείᾳ βλάψει“ γράφων ᾔσθετο μέν τι, ἀπεπλανήθη δὲ πάλιν τοῦ ὀρθοῦ· τῇ δ' ἐμῇ εἰκασίᾳ βοηθοῦσι καὶ δύο κώδικες· οἱ γὰρ L. Q. ἔχουσιν „ἡ ὑπόνοια τὴν ἀλήθειαν“, ὡς νῦν ὁρῶ παρὰ Bekker. Κατωτέρω δὲ „πανταχοῦ δὲ μνημεῖα κακῶν τε κἀγαθῶν ἀΐδια ξυγκατοικίσαντες“ οὐ δεῖ μεταβαλεῖν τὸ κακῶν εἰς καλῶν. Ἐν γὰρ τῷ Ἐπιταφίῳ Λυσίου § 2 λέγεται „οὐδεμιᾶς γῆς καὶ θαλάττης ἄπειροί εἰσιν· πανταχοῦ δὲ οἱ τὰ αὑτῶν πενθοῦντες κακὰ τὰς τούτων

ἀρετὰς ὑμνοῦσιν“, ἅ ὥσπερ ἀντεγράφη ἐκ τῶν „ἀλλὰ πᾶσαν μὲν θάλασσαν καὶ γῆν —πανταχοῦ— ξυγκατοικίσαντες.“ Ταῦτα δὲ σαφῶς, οἶμαι, διδάσκει, ὅτι τά κακά τῶν πολεμίων ἐστὶ καὶ τὸ αὐτὸ πρᾶγμα κατὰ δύο τρόπους ἐκφέρεται.

II, 44, 1 „καὶ οἷς ἐνευδαιμονῆσαί τε ὁ βίος ὁμοίως καὶ ἐντελευτῆσαι ξυνεμετρήθη.“ Ὁ Περικλῆς παραμυθεῖται νῦν τοὺς τοκέας. Περὶ τοῦ χωρίου τούτου πολλὰ λέγεται καθ' ἑκάστην ἡμέραν ἔν τε ταῖς ἐκδόσεσι καὶ τοῖς περιοδικοῖς (ἰδὲ Herbst ἐν Neue Jahrb. 1879 σελ. 540 καὶ Liebhold ἐν Phil. 1878 σελ. 349 καὶ M. Schmidt μεταβάλλοντα τὸ εὐδαιμονῆσαι εἰς ἀδημονῆσαι καὶ ἄλλους) καὶ ὡς νῦν παραδέδοται, δυνάμεθα μόνον κατὰ τὸ I, 70, 7 „μόνοι γὰρ ἔχουσί τε ὁμοίως καὶ ἐλπίζουσιν“ ἑρμηνεύειν. Ἔν τε γὰρ τούτῳ τῷ χωρίῳ δεῖ ἡμᾶς τῷ νῷ ἀντιστρέφειν τὰς λέξεις „ἐλπίζουσί τε ὁμοίως καὶ ἔχουσιν“, ἵνα αὐτὸ κατανοήσωμεν, καὶ νῦν ὁμοίως „ἐντελευτῆσαί τε ὁμοίως καὶ ἐνευδαιμονῆσαι“ = ἐντελευτῆσαι ὁμοίως ἐν τῷ βίῳ, ἐν ᾧ καὶ ηὐδαιμόνισαν. Ἀλλὰ τὴν ὀρθὴν τοῦ χωρίου ἑρμηνείαν εἰσηγήσατο ὁ Classen. ᾧ ἄλλοι ἑπόμενοι κατὰ πολλοὺς τρόπους διορθοῦσι τὸ ἐντελευτῆσαι. Εἰκάζω τὴν λέξιν ταύτην μεταβλητέαν εἶναι εἰς „ἐνταλαιπωρῆσαι“, καθ' ὅ ὀρθὸς ὅρος τῆς εὐδαιμονίας τὸ ἀγχίστροφόν ἐστι τῆς τύχης, ὅν καὶ ὁ ἔμπειρος τῶν τοῦ βίου πραγμάτων ἴσως ἀποδέχεται.

II, 70, 1 Οἱ Ποτιδαιᾶται προσφέρουσι λόγους περὶ συμβάσεως „τοῖς στρατηγοῖς τῶν Ἀθηναίων τοῖς ἐπὶ σφίσι τεταγμένοις κτέ.“ Ὡς νῦν ἔχει ὁ λόγος, περιττὸν δοκεῖ μοι εἶναι τὸ „τοῖς ἐπὶ σφίσι τεταγμένοις“ καὶ οἶμαι εἰπεῖν τὸν συγγραφέα „τοῖς ἐπὶ σφίσι τότε τεταγμένοις“, ἵνα διακρίνωνται οἱ στρατηγοὶ οὗτοι ἄλλων ἐκεῖ πρότερον τεταγμένων καὶ εἶτα ἀπελθόντων.

II, 97, 3 „φόρος τε ἐκ πάσης τῆς βαρβάρου καὶ τῶν Ἑλληνίδων πόλεων ὅσον προσῆξαν ἐπὶ Σεύθου, ὅς ὕστερον κτέ.“ Λέγει ταῦτα ὁ συγγραφεὺς τὰ κατὰ τὴν ἀρχὴν τῶν Ὀδρυσῶν διεξιών. Εἰκότως πειρῶνται αἴρειν τὸν ἀνάττικον ἀόριστον προσῆξαν οἱ ἑρμηνευταί, ὧν ἰδὲ τὰς εἰκασίας παρὰ Classen. Ἐγὼ δ' ἡγοῦμαι γραπτέον εἶναι „προσῆρξαν“, φυλαττομένης καὶ τῆς τῶν πλειόνων καὶ ἀμεινόνων χειρογράφων γραφῆς „ὅσων“. Οἶδα μέν, ὅτι τὸ προσάρχω οὐκ εὔχρηστόν ἐστιν· ἀλλά πολλὰ ἐστι παρὰ Θουκυδίδῃ τὰ ἅπαξ εἰρημένα καὶ σπάνια· δηλοῖ δὲ ταὐτὸν καὶ τὸ ἐπάρχω = ὅσων προσέτι πόλεων Ἑλληνίδων ἐπὶ Σεύθου ἐκράτησαν οἱ Ὀδρῦσαι, ὧν δεῖ συμπεριλαμβάνεσθαι τὸν φόρον. Ὁρῶ δὲ παρὰ τῷ Krüger τὸν Dobree εἰκάζοντα „ὅσων περ ἦρξαν“ καὶ τὸν Badham ἐν σελ. Mnem. 1880 ταὐτὸν αὖθις προφέροντα. Ἀλλ' ἡ ἐμὴ μεταβολὴ ἁπλουστάτη οὖσα καί τι πλέον ἡμᾶς διδάσκει, ὅτι ἐπὶ Σεύθου καὶ ἄλλας πόλεις Ἑλληνίδας οἱ Ὀδρῦσαι κατεστρέψαντο.

III, 4, 4 „Καὶ ἀνακωχὴν ποιησάμενοι πέμπουσιν ἐς τὰς Ἀθήνας οἱ Μυτιληναῖοι τῶν τε διαβαλόντων ἕνα, ᾧ μετέμελεν ἤδη, καὶ ἄλλους, εἴπως πείσειαν τὰς ναῦς ἀπελθεῖν, ὡς σφῶν οὐδὲν νεωτεριούντων.“ Οἱ Μυτιληναῖοι βούλονται ἀπαλλαγῆναι τῶν Ἀθηναίων. Ὁ Cobet ἐν Mnem. 1880 σελ. 124 οἴεται τὴν γραφὴν πλημμελῶς ἔχειν καὶ μὴ ἀρκεῖν τὴν μεταβολὴν τοῦ ἀπελθεῖν εἰς ἀπάγειν ἢ ἀποπέμπειν. Ἐγὼ δὲ ἀναγιγνώσκων ἐν IV, 30, 4 „καὶ ἅμα γενόμενοι πέμπουσι πρῶτον ἐς τὸ ἐν τῇ Ἠπείρῳ στρατόπεδον κήρυκα, προκαλούμενοι εἰ βούλοιντο ἄνευ κινδύνου τοὺς ἐν τῇ νήσῳ ἄνδρας σφίσι τά τε ὅπλα καὶ σφᾶς αὐτοὺς κελεύειν παραδοῦναι“ οἶμαι κατ' αὐτὰ δεῖν γράφειν „εἴπως πείσειαν τὰς ναῦς κελεύειν ἀπελθεῖν κτέ.“

IV, 69, 2 „*ἀρξάμενοι δ' ἀπὸ τοῦ τείχους, ὅ εἶχον, καὶ διοικοδομήσαντες πρὸς Μεγαρέας, ἀπ' ἐκείνου ἑκατέρωθεν ἐς θάλασσαν τῆς Νισαίας, τάφρον τε καὶ τείχη διελομένη ἡ στρατιά, ἔκ τε τοῦ προαστείου λίθοις καὶ πλίνθοις χρώμενοι, καὶ κόπτοντες τὰ δένδρα καὶ ὕλην ἀπεσταύρουν εἴ ποι δέοιτότι.*" *Οἱ τῶν Ἀθηναίων στρατηγοί βούλονται τὴν Νίσαιαν περιτειχίσαι. Οὐχ οἷόν τε πάσας τὰς μετοχὰς εἰς τὸ περιετείχιζον ἀναφέρειν καὶ* Classen, *οὗ ἰδὲ τὴν παρατήρησιν, ἡγεῖται μετὰ τὸ* „*τῆς Νισαίας*" *ἐκπεσεῖν τὸ αὐτὸ ῥῆμα περιετείχιζον. Ἀναγιγνώσκων ἐν* V, 52, 2 „*καὶ Πατρέας τὰ τείχη καθεῖναι ἔπεισεν ἐς θάλασσαν*" *εἰκάζω μετὰ τὸ θάλασσαν ἐκπεσεῖν τὴν λέξιν καθίεσαν, ἣ συνάπτοιτ' ἂν τὰ* „*τάφρον τε καὶ τείχη*", *τοῦ αὐτά ἀποδιδομένου τῷ διελομένη.*

IV, 108, 6 *Οἱ Ἀθηναῖοι πυθόμενοι τὴν ἅλωσιν τῆς Ἀμφιπόλεως ἐφοβήθησαν σφόδρα καὶ φυλακὰς διέπεμπον εἰς τὰς πόλεις* „*ὁ δὲ* (*Βρασίδας*) *ἐς τὴν Λακεδαίμονα ἐφιέμενος στρατιάν τε προσαποστέλλειν ἐκέλευε καὶ αὐτὸς ἐν τῷ Στρυμόνι ναυπηγίαν τριήρων παρεσκευάζετο.*" *Ὁ* Classen *ἑρμηνεύει τὸ ἐφιέμενος κατὰ τὴν παρὰ ποιηταῖς ἀπαντῶσαν αὐτοῦ σημασίαν* „*παραγγέλματα διδούς*", *ᾧ οὐκ ἔχει τις ῥᾳδίως πείθεσθαι. Οἶμαι γραπτέον εἶναι* „*ἐς τὴν Λακεδαίμονα μειζόνων ἐφιέμενος*", *δι' οὗ καὶ τὸ* „*ναυπηγίαν τριήρων*" *ἄμεινον ἑρμηνεύεται.*

IV, 122, 2 „*Οἱ δὲ τῷ Βρασίδᾳ ἀνήγγειλαν τὴν ξυνθήκην*". *Μέλλοντι τῷ Βρασίδᾳ ἐγχειρεῖν τῇ τε Μένδῃ καὶ τῇ Ποτιδαίᾳ ἔρχονται οἱ τὴν ἐκεχειρίαν περιαγγέλλοντες. Ὁ* Classen *λέγει, ὡς ἀναγγείλαντες τῷ Βρασίδᾳ τὴν ἐκεχειρίαν ἀπῆλθον εἰς τὰς πόλεις καὶ ἐπανελθόντες εἰς τὴν Σκιώνην, ὅπου ἦν οὗτος, ἀνήγγειλαν τίνα ἐν ταῖς πόλεσι συνέθεντο. Ἀλλὰ πόθεν ταῦτα συνάγεται;* Madwig *δὲ ἐν* Adver. Crit. I

σελ. 398 *γράφει „σύν τῷ Βρασίδᾳ“ = ἀναγγείλαντες αὐτῷ τὴν ἐκεχειρίαν ἀπῆλθον μετ᾽ αὐτοῦ εἰς τὰς πόλεις. Ἀλλ᾽ ἔθραξε τοὺς ἑρμηνευτὰς τούτους τὰ „καὶ ἡ μὲν στρατιὰ πάλιν διέβη ἐς Τορώνην“, ὃ οὐκ ἂν συνέβαινεν, εἰ μὴ ἀνηγγέλλετο τῷ Βρασίδᾳ ἡ ἐκεχειρία. Ἡ γὰρ φράσις αὕτη κατὰ πρόληψιν ἐτέθη (οὐ γὰρ ἂν εἶχε κατωτέρω αὐτῆς μνημονεῦσαι) καὶ νῦν ὁ συγγραφεὺς ἀναλαμβάνει ἐξ ἀρχῆς τὴν διήγησιν ἀπὸ τοῦ ἀφικνοῦνται, ὅτι ἀνήγγειλαν τὴν συνθήκην, ἅττα οἱ Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι συνέθεντο, οὐδ᾽ ἦν ἀναγκαῖον εἰς τὰς πόλεις ἀπελθεῖν, ἀλλ᾽ ἤτοι Βρασίδας ἀντὶ πασῶν αὐτὴν ἐδέξατο ἢ πρέσβεις ἐκ τῶν πόλεων ἦλθον. Ἀλλὰ τούτου οὐδὲν ἔμελε τῷ Θουκυδίδῃ.*

IV, 128, 5 *„καὶ ἐς τὸ λοιπὸν Πελοποννησίων τῇ μὲν γνώμῃ δι᾽ Ἀθηναίους οὐ ξύνηθες μῖσος εἶχε, τῶν δὲ ἀναγκαίων ξυμφόρων διαναστὰς ἔπρασσεν ὅτῳ τρόπῳ τάχιστα τοῖς μὲν ξυμβήσεται, τῶν δὲ ἀπαλλάξεται.“ Διηγεῖται ὁ συγγραφεὺς περὶ τῆς ἀρξαμένης ἔχθρας Πελοποννησίων καὶ Μακεδόνων.* Madwig *ἐν* Adver. Crit. I *σελ.* 323 *γράφει „τῷ δ᾽ ἀναγκαίῳ ξυμφόρῳ“ ἁμαρτών, ὥσπερ ἡγοῦμαι, τῆς τοῦ χωρίου διανοίας. Οὐδὲν γὰρ συμφέρον εἶχεν, ὅς γε μετ᾽ ὀλίγον μὲν φίλος ἔσται τῶν Ἀθηναίων, πάλιν δὲ ἐν* V, 88, 4 *ἐγκατέλιπεν αὐτούς. Ἀλλ᾽ οὐδὲ τὸν* Classen *οἶμαι ὀρθῶς ἑρμηνεύειν τὸ ἀναγκαίων. Σύμφορον γὰρ ἦν μάλιστα αὐτῷ μήτε τοὺς Ἀθηναίους μήτε τοὺς Λακεδαιμονίους ἐν Μακεδονίᾳ εἶναι καὶ τῶν Ἀθηναίων ἕνεκα ἠνάγκαστο συμμαχεῖν τοῖς Λακεδαιμονίοις. Ἀλλὰ νῦν ἀφίσταται τῶν ἀναγκαίων συμφόρων, τῶν Λακεδαιμονίων, ὧν ὡς ἔφθην εἰπών, ὑπ᾽ ἀνάγκης φίλος ἐγένετο, καὶ ζητεῖ τά ἀληθῆ συμφέροντα, ἃ ἐν τοῖς ἑπομένοις ξυμβήσεται καὶ ἀπαλλάξεται ἑρμηνεύει ὁ Θουκυδίδης.*

V, 21, 3 *Κλεαρίδας ἔρχεται εἰς Λακεδαίμονα ἀπολογησόμενος.* „*ἐλθὼν δὲ αὐτὸς κατὰ τάχος μετὰ πρέσβεων αὐτόθεν*—" *Ὁ μὲν* Krüger *σιγᾷ, ὁ δὲ* Classen *λέγει, ὡς προσδοκᾷ τις* „*μετὰ τῶν πρέσβεων*" *ἐπεὶ πρέσβεις εἰσί, κατ' αὐτόν, οἱ ἐν* V, 21, 1 *μνημονευθέντες καὶ κατωτέρω λεγόμενοι* „*οἱ περὶ τὸν Ἰσχαγόραν.*" *Ἀλλ' οὐκ ἂν ἦν σφόδρα ἄτοπον εἰπόντα Θουκυδίδην* „*μετὰ πρέσβεων*" *τοὺς αὐτοὺς εὐθὺς ὀνομάζειν* „*οἱ περὶ τὸν Ἰσχαγόραν*"; *Ἀλλὰ καὶ τοῦτο ἀπίθανον, τό ἐλθεῖν τὸν Κλεαρίδαν μετὰ τῶν πρέσβεων, οὓς ἐφοβεῖτο μὴ κατηγορήσωσιν αὐτοῦ. Οἶμαι οὖν τὸν* Classen *κατὰ τάχος νῦν ἑρμηνεῦσαι. Ἐν γὰρ* V, 31, 6 *λέγεται* „*ἐγένοντο δέ—καὶ οἱ ἐπὶ Θρᾴκης Χαλκιδῆς Ἀργείων ξύμμαχοι*" *καὶ ἐν* V, 38, 1 *ἔτι σαφέστερον* „*καὶ τοῖς ἀπὸ Θρᾴκης πρέσβεσιν*", *ἐξ ὧν οἶμαι σαφῶς δηλοῦσθαι, ὅτι πρέσβεις νῦν εἰσι τῶν Χαλκιδέων, μεθ' ὧν ὁ Κλεαρίδας ἦλθε, καὶ ὁ μὲν Κλεαρίδας κατὰ τάχος πάλιν ἐπορεύετο εἰς τὰ ἐπὶ Θρᾴκης, οἱ δὲ πρέσβεις τῶν Χαλκιδέων, ὄντες αὐτοκράτορες, ὡς ἐκ τῶν πράξεων αὐτῶν δῆλον καθίσταται, αὐτοῦ, ἐν Πελοποννήσῳ, ἔμενον καὶ ἐν μέν* V, 31, 6 *σύμμαχοι τῶν Ἀργείων ἐγένοντο, ἐν δὲ* V, 38, 1 *ἐδόκει καὶ αὐτοῖς ὅρκον ὀμόσαι μετὰ τῶν ἄλλων. Ἀπίθανον γὰρ ὑπονοεῖν πρεσβείαν Χαλκιδέων ἔπειτα γενομένην, ἧς οὐδαμοῦ μνημονεύει ὁ συγγραφεύς. Ἀλλὰ καὶ τὸ* αὐτόθεν *ἔδει διδάξαι τοὺς ἑρμηνευτάς· ὡς γὰρ ἑρμηνεύουσι, περιττεύει παντάπασιν. Πόθεν γὰρ ἂν ἄλλοθεν ἦλθεν; νῦν δὲ στενῶς συνάπτεται τῷ* „*μετὰ πρέσβεων*" *ἴσα δηλοῦν καὶ* Χαλκιδέων. (*Ὁρῶ δὲ νῦν καὶ* Stahl *λέγοντα* procul dubio Amphipolitanorum.)

V, 26, 1 *Λέγει ὁ συγγραφεύς, ὡς καὶ ἃ ἔπειτα ἐγένετο γέγραφεν ὁ αὐτὸς μέχρι τέλους τοῦ πολέμου* „*μέχρι οὗ καὶ τὰ μακρὰ τείχη καὶ τὸν Πειραιᾶ κατέλαβον.*" *Οἶμαι γραπτέον*

εἶναι „κατέβαλον“ παραβάλλων V, 83, 2 *„τὰ δὲ οἰκοδομούμενα τείχη ἑλόντες καὶ καταβαλόντες κτέ.“ καὶ γιγνώσκων, ὅτι ταῦτα εἰς ἄλληλα διαφθείρεται, ὁρῶ δὲ καὶ παρὰ τῷ* Krüger, *ὅτι δύο χειρόγραφα ἔχει τὴν γραφὴν ταύτην, ἥν καὶ ὁ ἐκδότης οὗτος οὐκ ἀποδοκιμάζει. Ἀλλ' οὕτω σαφῶς ἀμείνων ἐστὶ τῆς ἑτέρας, ὥστε θαυμάζω, εἰ μήπω οἱ ἐκδόται αὐτὴν ἐδέξαντο. Τὸ δὲ „τὸν Πειραιᾶ“ συντόμως ἐλέχθη ἀντί „καὶ τὰ τοῦ Πειραιῶς“, ὡς καὶ ἄλλοι συγγραφεῖς λέγουσιν.*

V, 30, 2 *Οἱ Κορίνθιοι ἀντιλέγουσι τοῖς αἰτιωμένοις Λακεδαιμονίοις „ὀμόσαι μὲν γὰρ αὐτοῖς (τοῖς ἐπὶ Θρᾴκης) ὅρκους ἰδίᾳ τε, ὅτε μετὰ Ποτιδαιατῶν τὸ πρῶτον ἀφίσταντο, καὶ ἄλλους ὕστερον.“* Krüger *μετὰ τὸ ὕστερον ποθεῖ τὸ κοινῇ καὶ* Classen *ὑπονοεῖ μόνον αὐτό. Ἀλλ' ὅ τε κατὰ τὴν συνήθη τῷ Θουκυδίδῃ ἐλευθέραν τοῦ τε θέσιν συνάπτει μᾶλλον τὰ „ὅτε—ἀφίσταντο“ τοῖς ἑπομένοις, ὥσπερ ἂν εἰ ἦν πρὸ τοῦ χρονικοῦ λόγου τὸ πρότερον. Εἰ γὰρ κοινῇ ὤμοσαν ὅρκους οἱ Πελοποννήσιοι τοῖς ἐπὶ Θρᾴκης, ἐχρῶντο ἄν νῦν οἱ Κορίνθιοι τῷ λόγῳ τούτῳ. Ἀλλ' ἴσως ὀρθότερον τρέπειν τὸν τε εἰς τότε ἀναφερόμενον εἰς χρόνους παλαιοὺς καὶ εὐθὺς ὑπὸ τοῦ χρονικοῦ λόγου ἑρμηνευόμενον. Ἐν δὲ* V, 31, 1 *λέγεται „ἔπειτα ἐκεῖθεν (ἐκ Κορίνθου) ἐς Ἄργος ἐλθόντες (Ἠλείων πρέσβεις), καθάπερ προείρητο, Ἀργείων ξύμμαχοι ἐγένοντο.“ Οἶμαι ἁμαρτάνειν τοὺς ἑρμηνευτάς·* Krüger *μὲν γὰρ λέγων μή ἀναφέρεσθαι τὰ „καθάπερ προείρητο“ είς τὸ* V, 28 *ὑπονοεῖ τὸ ἰέναι,* Classen *δὲ ἀναφέρει ταῦτα εἰς ἐκεῖνο τὸ κεφάλαιον. Ἀλλὰ σὺ ἀνάγνωθι καὶ κατωτέρω* § 5 *„καὶ τὴν ξυμμαχίαν, ὥσπερ προείρητο, καὶ οὗτοι ἐποιήσαντο.“ Εἶτα οὐ θαυμάζεις, ὅτι οὕτως ἐπαναλαμβάνει αὐτὰ ὁ Θουκυδίδης; Ἀλλ' οὗτος ἐξεπίτηδες ποιεῖ τοῦτο· δῆλος γάρ ἐστι λέγων, ὡς ἡ συμμαχία αὕτη ἐστὶν ἐπιμαχία, ὡς ἐν* V,

27, 2 „πρὸς Ἀργείους ξυμμαχίαν ποιεῖσθαι, ὥστε τῇ ἀλλήλων ἐπιμαχεῖν“, εἰς ὃ ἀναφέρονται οἱ περιορισμοὶ οὗτοι „καθάπερ προείρητο“ καὶ „ὥσπερ προείρητο.“ Σαφῶς δὲ ταῦτα ἑρμηνεύεται ὑπὸ τῶν V, 48, 2, ὥσπερ κἀκεῖνα ὑπὸ τῶν νῦν εἰρημένων.

VII, 1, 3 Ὁ Γύλιππος καὶ ὁ Πυθμὴν ἀφικνοῦνται εἰς Ἱμέραν καὶ ἔπεισαν Ἱμεραίους ξυμπολεμεῖν „καὶ αὐτούς τε ἕπεσθαι καὶ τοῖς ἐκ τῶν νεῶν τῶν σφετέρων ναύταις, ὅσοι μὴ εἶχον ὅπλα, παρασχεῖν (τὰς γὰρ ναῦς ἀνείλκυσαν ἐν Ἱμέρᾳ). Ὁ Classen τῷ Vat. ἀκολουθήσας ἔγραψε γάρ, τῶν ἄλλων κωδίκων ἐχόντων μέν. Ἀλλ' ἐνταῦθα οἶμαι ἀμφοτέρους τοὺς συνδέσμους κεῖσθαι καὶ γραπτέον εἶναι „τὰς μὲν γὰρ ναῦς ἀνείλκυσαν ἐν Ἱμέρᾳ“ κατὰ τὸ VII, 55, 1 „πρότερον μὲν γὰρ ἐφοβοῦντο τὰς μετὰ τοῦ Δημοσθένους ναῦς ἐπελθούσας.“ Ἐν ἀμφοτέροις γὰρ τοῖς χωρίοις ὑπονοεῖται ἐκ τῶν ἡγουμένων τὸ ἀντίθετον τοῦ μέν κῶλον. Ἐν δὲ VII, 57, 8 „καὶ οἱ Μεσσήνιοι νῦν καλούμενοι ἐν Ναυπάκτῳ ἐκ Ναυπάκτου“ ἔγραψε Classen ταύτῃ τῇ μεθόδῳ τῆς διορθώσεως χρησάμενος, ὅς γε παρέλαβε τὴν τοῦ Vat. γραφὴν καὶ τῶν ἄλλων κωδίκων. Ἀλλ' ἐκεῖ ἄλλως ἔχειν ἡγοῦμαι· τὸ γὰρ ἐκ Ναυπάκτου σχόλιον εἶναι προστεθὲν διὰ τὸ καὶ ἐκ Πύλου καὶ γράφειν δεῖν „καὶ οἱ Μεσσήνιοι νῦν καλούμενοι ἐν Ναυπάκτῳ (ἐνν. βουλήσει εἵποντο), οἳ καὶ ἐκ Πύλου—ἐς τὸν πόλεμον παρελήφθησαν.“ Εἰ γὰρ μὴ ὑπενοεῖτο τὸ βουλήσει εἵποντο, πῶς ἂν τοῖς ἡγουμένοις συνήπτετο καὶ τοῖς ἑπομένοις ἡ περὶ Μεσσηνίων διήγησις; Πῶς δ' ἂν ἥρμοττε τὸ παρελήφθησαν τοῖς ἐν Ναυπάκτῳ Μεσσηνίοις; τοῦτο δὲ εὖ ἁρμόττει τοῖς ἐν Πύλῳ, οὓς ἐκεῖσε πρὸς ἁρπαγὴν κομίσαντες τῆς Λακωνικῆς νῦν αὖθις παραλαμβάνουσιν.

VII, 25, 6 „προσαγαγόντες γὰρ ναῦν μυριοφόρον αὐτοῖς

οἱ Ἀθηναῖοι, πύργους τε ξυλίνους ἔχουσαν καὶ παραφράγματα ἔκ τε τῶν ἀκάτων ἄνευον ἀναδούμενοι τοὺς σταυροὺς καὶ ἀνέκλων καὶ κατακολυμβῶντες ἐξέπριον." Διηγεῖται ὁ συγγραφεὺς ὅτι ἐγένετο ἀκροβολισμὸς ἐν τῷ λιμένι περὶ τῶν σταυρῶν τῶν Συρακοσίων. Οἱ πλεῖστοι τῶν ἑρμηνευτῶν ἐξηγοῦνται τὸ ἀνέκλων διὰ τοῦ ἀνέσπων, ὅ ἔχει ὁ Σχολιαστὴς καὶ εἰς ὅ μεταβάλλει ἐκεῖνο CLASSEN. Ἀλλ' ἐνταῦθα οἶμαι ἄλλην κρύπτεσθαι λέξιν, ἐγγύτατα τῆς, ἀνέκλων κειμένην, τὴν ἀνεῖλκον δηλοῦσαν ταὐτὸν καὶ τὴν ἀνέσπων.

VII, 28, 1 „Ἥ τε τῶν ἐπιτηδείων παρακομιδὴ ἐκ τῆς Εὐβοίας, πρότερον ἐκ τοῦ Ὠρωποῦ κατὰ γῆς διὰ τῆς Δεκελείας θᾶσσον οὖσα περὶ Σούνιον κατὰ θάλασσαν πολυτελὴς ἐγίγνετο." Εἰπὼν ἐν τοῖς ἔμπροσθεν περὶ τῶν συμβαινόντων τοῖς Ἀθηναίοις κακῶν διὰ τὴν τοῦ Ἄγιδος κατάληψιν τῆς Δεκελείας λέγει καὶ ταῦτα περὶ αὐτῶν. Ὁ CLASSEN μεταβάλλει τὸ κατὰ γῆς εἰς κατὰ γῆν. Ἀλλὰ περιττὸν ἡγοῦμαι τὸ σχόλιον τοῦτο διορθοῦσθαι, ἐπεὶ τὰ „ἐκ τοῦ Ὠρωποῦ διὰ τῆς Δεκελείας" περιέχει τὸ κατὰ γῆν καὶ σαφῶς ἀντιτίθεται τοῖς „περὶ Σούνιον κατὰ θάλασσαν."

VII, 53, 4 „καὶ οἱ Ἀθηναῖοι δείσαντες περὶ ταῖς ναυσὶν ἀντεμηχανήσαντό τε σβεστήρια κωλύματα καὶ παύσαντες τήν τε φλόγα καὶ τὸ μὴ προσελθεῖν ἐγγὺς τὴν ὁλκάδα τοῦ κινδύνου ἀπηλλάγησαν." Οἱ Συρακόσιοι νικήσαντες ἐν τῇ ναυμαχίᾳ βούλονται καὶ τὰς λοιπὰς ναῦς τῶν Ἀθηναίων ἐμπρῆσαι ὁλκάδα παλαιὰν κληματίδων καὶ δᾳδὸς γεμίσαντες. Ἐνταῦθα οἶμαι τὸ τε σβεστήρια καὶ τὸ κωλύματα οὐσιαστικὰ εἶναι καὶ γραπτέον „σβεστήρια καὶ κωλύματα (τοῦ καὶ ἐκπεσόντος διὰ τὸν μετὰ τὸ κωλύματα ὑπάρχοντα καὶ), ἅ ἑρμηνεύεται σαφῶς ὑπὸ τῶν ἑπομένων „τήν τε φλόγα (διὰ

τῶν σβεστηρίων) καὶ τὸ μὴ προσελθεῖν" (διὰ τῶν κωλυμάτων).

VII, 73, 1 Ἑρμοκράτης πειρώμενος κωλῦσαι τοὺς Ἀθηναίους μὴ ἀποχωρῆσαι „ἐσηγεῖται ἐλθὼν τοῖς ἐν τέλει οὖσιν ὡς οὐ χρεὼν ἀποχωρῆσαι τῆς νυκτὸς αὐτοὺς περιϊδεῖν, λέγων ταῦτα ἃ καὶ αὐτῷ ἐδόκει, ἀλλ' ἐξελθόντας κτε." Καὶ ἐνταῦθα ἐρίζουσιν οἱ ἑρμηνευταὶ περὶ τοῦ καὶ τοῦ „ἃ καὶ αὐτῷ ἐδόκει" καὶ ὁ CLASSEN ἑρμηνεύει „ἃ καὶ αὐτὸς οὐκ ᾔδει βεβαίως, ἀλλ' ἐδόκει·" Ἀλλ' ἐγὼ οὐκ ἔχω πείθεσθαι καὶ τὸν καὶ ἀναφορικὸν ὄντα συνάπτω τῷ ἐδόκει ἀναγιγνώσκων τὸ αὐτῷ ταπεινῇ τῇ φωνῇ· Παράβαλε γὰρ καὶ IV, 20, 2 „καὶ τοῖς ἄλλοις Ἕλλησιν ἀνάπαυσιν κακῶν ποιήσομεν, οἳ καὶ ἐν τούτῳ ὑμᾶς αἰτιωτέρους ἡγήσονται" ὅπου καὶ ὁ CLASSEN μετὰ τῶν ἄλλων ἐκδοτῶν συνάπτει τὸν καὶ τῷ ἐν τούτῳ λέγων ὥς διὰ τοῦ καὶ σαφὲς γίγνεται, ὅτι καὶ τοῦ πολέμου οἱ Ἀθηναῖοι αἰτιώτεροι ἐνομίζοντο· Ἀλλὰ τοῦτο ἥκιστα ἁρμόττει τοῖς πρέσβεσι τῶν Λακεδαιμονίων λέγειν εἰρήνην αἰτοῦσι καὶ λαμπρῶς ἀναιρεῖται ὑπὸ τῶν ἑπομένων „πολεμοῦνται μὲν γὰρ ἀσαφῶς ὁποτέρων ἀρξάντων." Ἔστιν οὖν ὁ καὶ πάλιν ἀναφορικὸς συναπτόμενος τῷ ἡγήσονται „οἳ καὶ ἡγήσονται."

VIII 5, 1 „πρῶτοι Εὐβοῆς ὡς Ἆγιν περὶ ἀποστάσεως τῶν Ἀθηναίων ἐπρεσβεύσαντο ἐν τῷ χειμῶνι τούτῳ." Οἱ Εὐβοεῖς βούλονται ἀφίστασθαι τῶν Ἀθηναίων. Ἐπειδὴ ἡ γενικὴ τῶν Ἀθηναίων μόνον ἐνταῦθα κεῖται ὡς ἀντικείμενον, KRUEGER καὶ STAHL ὑποπτεύουσιν αὐτήν. Ἀλλ' ἰδὲ VIII, 7, 1 „πάντες γὰρ κρύφα αὐτῶν ἐπρεσβεύοντο," ἐξ οὗ ἔστιν εἰκάσαι, ὅτι καὶ νῦν πρὸ τοῦ τῶν Ἀθηναίων ἐξέπεσεν ἡ λέξις κρύφα.

Πλάτων

ἕπομαι τῇ τῶν διαλόγων τάξει τοῦ Carl Hermann.

Ἀπολογία Σωκράτους.

32, A ὁ Σωκράτης ὑπισχνεῖται παρέξεσθαι τεκμήρια, ὅτι φιλεῖ τὸ δίκαιον „ἐρῶ δὲ ὑμῖν φορτικὰ μὲν καὶ δικανικὰ, ἀληθῆ δέ.“ Τὸ δικανικὰ οὐκ ἔχει χώραν ἐνταῦθα οὐδ' ὠφελεῖ τὸ ἐν Ἐνυπνίῳ τοῦ Λουκιανοῦ „ὡς μακρὸν τὸ ἐνύπνιον καὶ δικανικόν. Ἀλλ' εἰκάζω μεταβλητέον εἶναι αὐτὸ εἰς νεανικά τῷ αὐτῷ τρόπῳ διορθώσεως χρώμενος, ᾧ καὶ Heindorf ἐν Γοργίᾳ 485, E „ἐλεύθερον δὲ καὶ μέγα καὶ ἱκανὸν μηδέποτε φθέγξασθαι“ ἐχρήσατο τρέψας τὸ ἱκανὸν ὀρθῶς εἰς νεανικόν. Αὕτη γὰρ ἡ λέξις ἁρμόττει ἀμφοτέροις τοῖς χωρίοις.

Φαίδων.

82, D „οἷς τι μέλλει τῆς ἑαυτῶν ψυχῆς, ἀλλὰ μὴ σώματα πλάττοντες ζῶσιν.“ Ὁ Σωκράτης διδάσκει, ὅτι μόνοι οἱ φιλομαθεῖς ἀφικνοῦνται εἰς τὸ γένος τῶν θεῶν. Ὁ Stallbaum ὑποπτεύων τὸ σώματα πλάττοντες εἰκάζει „ἀλλὰ μὴ σῶμα ἀτιτάλλοντες ζῶσι“ καὶ, Madwig ἐν Advers. Crit. I σελ. 371 γράφει ἀπιθάνως „πελατεύοντες.“ Ἀλλ' ἀναγιγνώσκων ἐν Τιμαίῳ 88 E „τόν τε αὖ σῶμα ἐπιμελῶς πλάττοντα τὰς τῆς ψυχῆς ἀνταποδοτέον κινήσεις, μουσικῇ καὶ πάσῃ φιλοσοφίᾳ προσχρώμενον“ καὶ ἐν Κρατύλῳ 414 D „ποιοῦντες οἱ τῆς μὲν ἀληθείας οὐδὲν φροντίζοντες, τὸ δὲ στόμα πλάττοντες“ καὶ 415 D „καὶ ἴσως με αὖ φήσεις πλάττειν“, ἐν οἷς δηλοῖ τὸ πλάττειν ταὐτὸν καὶ σφόδρα ἐπιμέλεσθαι, προστεθέντος καὶ τοῦ ἐπιμελῶς ἐν τῷ χωρίῳ, τοῦ Τιμαίου,

εἰκάζω εὖ ἔχειν τὸ πλάττοντες καὶ μόνον σῶμα γραπτέον εἶναι, γεννηθέντος τοῦ ΤΙ τοῦ σώματι (ὅ ἔχει τὰ ἄριστα ἀντίγραφα) ἐκ διττογραφίας τοῦ ἑπομένου Π.

114, B „οἱ δ' ἂν δόξωσι διαφερόντως πρὸς τὸ ὁσίως βιῶναι, οὗτοί εἰσι κτέ." Εἰπὼν ὁ Σωκράτης περὶ τῶν εἰς τὸν τάρταρον ἀφικνουμένων ἐν τοῖς ἔμπροσθεν λέγει νῦν περὶ τῶν εἰς τὴν καθαρὰν οἴκησιν ἰόντων. Ὁ Heindorf παρενέβαλε μετὰ τὸ βιῶναι τὸ προκεκρίσθαι παραλαβὼν αὐτὸ παρὰ τοῦ Θεοδωρήτου, τῶν ἄλλων ἄλλως ἐξηγουμένων τὸ χωρίον. Εἰκάζω μετὰ τὸ βιῶναι ἐκπεσεῖν τὸ εἶναι, ᾧ συνάπτεται τὸ διαφερόντως. Παράβαλε καὶ Νόμους Πλάτωνος 892 C „ψυχὴ λέγοιτ' ἂν εἶναι διαφερόντως φύσει," ὅ ἐπικουρεῖ τῇ ἐμῇ εἰκασίᾳ.

Γοργίας.

457, C „οἶμαι, ὦ Γοργία, καὶ σὲ ἔμπειρον εἶναι πολλῶν λόγων καὶ καθεωρακέναι ἐν αὐτοῖς τὸ τοιόνδε κτέ." Ὁ Σωκράτης βουλόμενος ἐξελέγχειν Γοργίαν ἀντιφάσκοντα αἰτεῖται αὐτὸν συγγνώμην· Ὁ Madwig τρέπει τὸ λόγων εἰς λογίων, ὁ δὲ Cobet εἰκότως αὐτὸν ἐξελέγχων τρέπει τὸ λόγων εἰς ἀνθρώπων. Ἀλλ' ἐν Τιμαίῳ τοῦ Πλάτωνος 19 E λέγεται „τὸ δὲ τῶν σοφιστῶν γένος αὖ πολλῶν μὲν λόγων καὶ καλῶν ἄλλων ἔμπειρον εἶναι κτέ," ἅ διδάσκει, ὅτι τὸ λόγων εὖ ἔχει· Εἰκάζω τὸ αὐτοῖς μεταβλητέον εἶναι εἰς ĀNOIC = ἀνθρώποις.

Πολιτεία.

373 B Ὁ Σωκράτης περιγράφει νῦν πόλιν τρυφῶσαν καὶ φλεγμαίνουσαν „ἀλλ' ἤδη ὄγκου ἐμπληστέα καὶ πλήθους ἅ οὐκέτι τοῦ ἀναγκαίου ἕνεκά ἐστιν ἐν ταῖς πόλεσιν, οἷον οἵ τε θηρευταὶ πάντες, οἵ τε μιμηταὶ κτέ." Οὔτε κυρίως οὔτε

μεταφορικῶς ἁρμόττει τὸ θηρευταὶ τούτῳ τῷ χωρίῳ, περὶ οὗ ἰδὲ Stallbaum, ἀλλ' ἀναγιγνώσκων ἐν Πολιτ. 369, B „ἤ τινα ἄλλον τῶν περὶ τὸ σῶμα θεραπευτήν“ εἰκάζω τρεπτέον εἶναι τὸ θηρευταὶ εἰς θεραπευταὶ καὶ τὸ πάντες ἀντιτίθεσθαι ἐκείνῳ τῷ χωρίῳ.

390, B „ἢ Δία, καθευδόντων τῶν ἄλλων θεῶν τε καὶ ἀνθρώπων ὡς μόνος ἐγρηγορὼς ἃ ἐβουλεύσατο, τούτων πάντων κτέ.“ Ὁ Σωκράτης μνημονεύει χωρίων τοῦ Ὁμήρου, ἃ τοὺς νέους οὐ δεῖ μανθάνειν. Πολλοὶ τῷ χωρίῳ δικαίως προσέκρουσαν, ᾧ οὐδὲν βοηθεῖ ἡ τῶν λέξεων σύνταξις τοῦ Stallbaum. Εἰκάζω τὸ ὡς εἰς ὧν δεῖν μεταβαλεῖν τὸ ἃ καὶ τὸ μετ' αὐτὸ κόμμα ἀποβαλεῖν ὧδε „ὧν μόνος ἐγρηγορὼς ἐβουλεύσατο τούτων πάντων ῥᾳδίως κτέ,“ τοῦ λόγου καθ' ἕλξιν ἐξενεχθέντος.

410, C „οὐκ ἐννοεῖς, εἶπον, ὡς διατίθενται αὐτὴν τὴν διάνοιαν οἳ ἂν γυμναστικῇ μὲν διὰ βίου ὁμιλήσωσι, μουσικῆς δὲ μὴ ἅψωνται; ἢ ὅσοι ἂν τοὐναντίον διατεθῶσιν;“ ὁ Σωκράτης διδάσκει νῦν, ὅτι οἱ φύλακες δέονται τῆς τε μουσικῆς καὶ γυμναστικῆς. Θαυμάζω εἰ μηδεὶς τῶν ἑρμηνευτῶν προσέκρουσε τῷ διατεθῶσιν, ὃ οὐδένα τόπον ἔχει ἐνταῦθα. Ὁ γὰρ Σωκράτης ἐρωτᾷ πῶς διατίθενται οἱ μουσικῇ μὲν διὰ βίου ὁμιλήσαντες, γυμναστικῆς δὲ μὴ ἁψάμενοι, καὶ αὖ οἱ γυμναστικῇ μὲν διὰ βίου ὁμιλήσαντες, μουσικῆς δὲ μὴ ἁψάμενοι. Ἔχει οὖν τις τὸ διατεθῶσιν ἀποβαλεῖν προστεθὲν ὑπό τινος παραλαβόντος ἐκ τοῦ διατίθενται, τοῦ τοὐναντίον καθ' ἑαυτὸ λεγομένου, ὡς ἐν 412 D „μηδὲ, τοὐναντίον.“ Ἀλλ' οἶμαι τρεπτέον εἶναι μᾶλλον εἰς διατελέσωσιν μεθ' οὗ συναπτόμενον τὸ τοὐναντίον σημαίνει „γυμναστικῇ μὲν μὴ ἁψάμενοι, μουσικῇ δὲ διὰ βίου ὁμιλήσαντες.“ Ἀλλὰ καὶ τὸ αὐτὴν οὐκ ἔχει χώραν οὐδ' ἑρμηνεύει ὀρθῶς ὁ Stall-

BAUM, *ἀλλ' οἶμαι τρεπτέον εἶναι εἰς αὐτῶν συναπτόμενον τῷ οἵ ἄν.*

496, A *„οὐδὲ φρονήσεως ἄξιον ἀληθινῆς ἐχόμενον"* ὁ Ast *ἀποβάλλει τὸ ἄξιον ὡς ἄτοπον δὴ ὂν σχόλιον τῆς μετοχῆς ἐχόμενον, ᾧ καὶ* Hermann *καὶ* Stallbaum *συνεφώνησαν· Ἀλλ' ὀρθῶς ὁ* Wiegand *εἶδε τὸ ἐχόμενον ὅτι πλημμελές ἐστιν, ὅ οἶμαι εἰς ἔκγονον δεῖν μεταβαλεῖν, ᾧ εὖ συνάπτεται καὶ τὸ ἐπίθετον γνήσιον.*

533, D *ὁ Σωκράτης ἐπαινῶν τὴν διαλεκτικὴν μέθοδον λέγει" . . . καὶ τῷ ὄντι ἐν βορβόρῳ βαρβαρικῷ τινι τὸ τῆς ψυχῆς ὄμμα κατορωρυγμένον ἠρέμα ἕλκει κτέ." Οὐκ ἔχω ἐννοεῖν, τί ἐστι βόρβορος βαρβαρικὸς οὐδὲ περὶ Ἑλληνικοῦ βορβόρου ἀνέγνων που. Εἰκάζω „ἐν βορβόρῳ ταρταρικῷ τινι κτέ."*

601, A *„ὥσθ' ἑτέροις τοιούτοις ἐκ τῶν λόγων θεωροῦσι δοκεῖν, ἐάν τε περὶ σκυτοτομίας τι λέγῃ ἐν μέτρῳ καὶ ῥυθμῷ καὶ ἁρμονίᾳ, πάνυ εὖ δοκεῖν λέγεσθαι κτέ." Ὁ Σωκράτης λέγει πάντας τοὺς ποιητικοὺς μιμητὰς εἰδώλων ἀρετῆς εἶναι. Οὐ ῥᾴδιον ὑπερασπίζειν τοῦ δὶς ἐπαναλαμβανομένου δοκεῖν, ἀλλὰ τὸ εὖ δοκεῖν οἶμαι μεταβλητέον εἶναι εἰς εὐδοκιμεῖν, προστεθέντος τοῦ σχολίου λέγεσθαι μετὰ τὸ διαφθαρῆναι τὸ εὐδοκιμεῖν εἰς εὖ δοκεῖν. Ἀντὶ δὲ τοῦ ἑτέροις ἔχει ὁ* Paz. A *καὶ ἄλλοι ἀγαθοὶ κώδικες „ἐν τοῖς," ἐν ᾧ λανθάνει ουσα ἴσως ἡ ὀρθοτέρα γραφὴ „ὥστ' ἐν ἑτέροις."* Τοῦτο δὲ *εὖ συνάπτεται τῷ εὐδοκιμεῖν.*

Παρατίθεμαι δὲ ἐνθάδε καί τι χωρίον τοῦ Δημοσθένους ὁμοίως τοῖς ἄλλοις ἐπιδοκιμασθὲν ὑπὸ τῶν κριτῶν.

Κατὰ Φιλίππου A § 22 *„πόθεν δὴ τούτοις ἡ τροφὴ γενήσεται; ἐγὼ καὶ τοῦτο φράσω καὶ δείξω, ἐπειδάν, διότι τηλικαύτην ἀποχρῆν οἶμαι τὴν δύναμιν καὶ πολίτας τοὺς στρα-*

τευομένους εἶναι κελεύω.“ Ὁ Δημοσθένης διδάσκει τους Ἀθηναίους, διότι δεῖ πολίτας συμπλεῖν. Τὸ „καὶ πολίτας τοὺς στρατευομένους“ γενικῶς λεχθὲν οὐ παρέχεται ὀρθὴν διάνοιαν. Ἐν γὰρ τοῖς ἔμπροσθεν εἶπεν, ὡς τῶν δισχιλίων πεζῶν πεντακοσίους δεῖ εἶναι Ἀθηναίους καὶ τῶν διακοσίων ἱππέων πεντήκοντα Ἀθηναίους. Ἐν δὲ § 23 λέγει „πολίτας δὲ παρεῖναι καὶ ξυμπλεῖν διὰ ταῦτα κελεύω.“ Ἰδὲ παρὰ Emil Mueller τὰς ἑρμηνείας καὶ διορθώσεις. Ἐγὼ δὲ εἰκάζω μετὰ τὸ στρατευομένους ἐκπεσεῖν τὴν λέξιν ἐνίους ῥᾳδίως· οὕτω γὰρ αἴρεται ἡ ἀντίφασις· τὸ δ' ἐνίους περιορίζει τὸ στρατευομένους, ὡς ἐν Ὀλονθιακῷ Γ § 11 „λέγω τοὺς περὶ τῶν θεωρικῶν σαφῶς οὑτωσί, καὶ τοὺς περὶ τῶν στρατευομένων ἐνίους κτέ.“ Καὶ ἐν τῷ περὶ Στεφάνου 12, „τὰ μὲν οὖν κατηγορημένα πολλὰ καὶ περὶ ὧν ἐνίων μεγάλας καὶ τὰς ἐσχάτας οἱ νόμοι διδόασι τιμωρίας.“